# ΛΙΒΑΝΙΟΥ

## ΠΡΕΣΒΕΥΤΙΚΟΣ

### Πρὸς τοὺς Τρῶας ὑπὲρ τῆς Ἑλένης, Μενέλαος.

Εἰ μὲν ἐβούλετο Ἀλέξανδρος, ὦ Τρῶες, κἂν καὶ μικρὸν εἶναι δίκαιος, οὔθ' ὅπλων ἔδει νῦν, οὔτε πρεσβείας, οὔτ' ἐκκλησίας· ἀλλ' ἡμεῖς τε ἂν οἴκοι διετρίβομεν ἐν πᾶσιν ἀγαθοῖς, ὑμῖν τε ἂν ἔξω φόβων καθειστήκει τὰ πράγματα. Ἐπεὶ δὲ τὴν τοῦ δικαίου τάξιν δευτέραν πεποίηται τῆς ἡδονῆς, ἥκομεν, ὦ Τρῶες, ἀδικήσαντες μὲν οὐδένα, τὰ δὲ ἡμέτερα αὐτῶν κομιούμενοι, ἂν ἄρα βούλησθε. Τὸ μὲν οὖν στρατόπεδον τῶν Ἀχαιῶν ἀπὸ τῶν τειχῶν ὁρᾶτε δήπου, καὶ τὸ πλῆθος ὅσον, καὶ τῆς παρασκευῆς τὸ μέγεθος· ἡμεῖς δὲ τοσαύτῃ προνοίᾳ χρώμεθα τοῦ μηδὲν ἀπεικὸς ποιεῖν, ὥστε τὰ ὅπλα παραστήσαντες, προτέροις χρώμεθα τοῖς λόγοις· ἵν' εἰ μὲν ἐκ πρεσβείας τῶν δικαίων τύχοιμεν, εὐθὺς ἀπίωμεν, εἰ δὲ μή, τάχα δεύτερα πράξαιμεν. οὔτε γὰρ εἰς ἔργον παράχρημα καθίστασθαι τῶν ἡμετέρων τρόπων, ἀπράκτου τε τῆς πρεσβείας ἀπελθούσης, ἡσυχάζειν οὐκ ἔνεστιν. ἔστι κρίνειν ὑφ' ὑμῖν, ἢ περὶ πλείονος ποιῆσαι τὴν ἡδονὴν Ἀλεξάνδρου τῆς ὑμετέρας αὐτῶν ἀσφαλείας, ἢ μετὰ τῆς Ἑλένης ἀπηλλάχθαι καὶ τοῦ πολέμου. Μέχρι μὲν οὖν τῆς παρούσης ἡμέρας, Ἀλεξάνδρῳ μόνῳ τὴν ἁρπαγὴν λογιζόμεθα, καὶ τῶν εἰς ἡμᾶς ἠσελγημένων οὐδὲν ἀπὸ τοῦ κοινοῦ τῶν Τρώων πεποιῆσθαι νομίζομεν· τὸ δὲ τῆς νῦν ἐκκλησίας τέλος, ἢ βεβαιώσει ταύτην τὴν δόξαν, ἢ τὸ μὲν ἔργον ἐκείνου, τὸ δὲ βούλευμα κοινὸν ἁπάντων ἀποδείξει. ἐν μὲν οὖν τῷ τὴν Ἀλε-

ξαν-

ἀνδρὶ θεραπεύειν χάριν, κοινωνεῖν ἐπὶ τῶν πεπραγμένων, ἐν δὲ τῷ παρὰ τὴν ἐκείνου γνώμην μέτριόν τι ποιεῖν ἐθέλειν, ἐν ἐκείνῳ τὴν μέμψιν δείξει. Ἀεὶ μὲν οὖν ἔμοιγε συνήθες, μὴ μακροὺς ἀποτείνειν ὑπὲρ τῶν πεπραγμένων λόγους. καὶ τοῦτ' εἰκότως οὕτω μοι δοκῶ ποιεῖν. ὑπὲρ μὲν γὰρ τῶν ἀδίκων, οὐδ' ἂν εἴποιμι τὴν ἀρχήν, τὰ δὲ δίκαια, βραχείας ἡγοῦμαι δεῖσθαι ῥήσεως. οἶμαι δ' εἰ καὶ μακρολογεῖν εἰώθειν, τό γε παρὸν πρᾶγμα συστεῖλαι ἂν εἰς ἐλάχιστον τοὺς λόγους. τοῦτο γὰρ μόνον τῶν ἁπάντων οὐδὲν ἀπαιτεῖ ποικίλον, οὐδὲ σοφόν, ἀλλ' ἀπὸ ψιλῆς ἐρωτήσεως ἑλεῖν ἐστι τὸν ἀνθιστάμενον. Καί μοι ἀπόκριναι πρὸς Διὸς ξενίου, Ἀλέξανδρε. Ἔλαβές τι τῶν οὐ σοὶ προσηκόντων; οὐκοῦν ἀπόδος. ἔλαβες ἀδίκως; οὐκοῦν προσοφείλεις δίκην. δεῖ γὰρ δήπου δυοῖν θάτερον, ἢ τὸ μηδὲν εἰληφέναι δεικνύναι ἀδίκως, ἢ τοῦθ' ὁμολογοῦντα, μηδὲ ἀντιτείνειν ἔτι. Ὡς μὲν οὐκ ἀφείλου με τὰ τιμιώτατα πάντων, οὐκ ἀξιώσεις ἀρνεῖσθαι. ἀκούω γάρ σε σεμνύνεσθαι τοῖς ἀδικήμασι. τούτου δὲ οὕτως ἔχοντος, ὁ τοῦ δικαίου λόγος ἀποστερῆσαί σε τῶν ἡμετέρων ἐπιτάττει. ἐφ' ἃ τῷ κοινῷ μὲν νόμῳ τῶν ξένων εἰσεδέχθης, διέθηκας δὲ τῶν πολεμίων πικρότερον. Μὴ γὰρ οἴεσθε τὴν ἐπιβουλὴν ἡμῖν αὐτὸν ἐμφανῆ καταστήσαντα τοσαῦτα δεδυνῆσθαι, μηδὲ οὕτω, μήτε τοῦτον εἶναι θαυμαστόν, μήθ' ἡμᾶς ὑπτίους, ὥστε τὸν μὲν ἐκ προρρήσεως ταῦτ' ἂν ποιῆσαι, ἡμᾶς δὲ προειδότας ταῦτ' ἂν παθεῖν. ἀλλ' ὅπως ἔχει τὸ πρᾶγμα, ἀκούσατε. Ἀλέξανδρος μὲν γάρ, οὐχ ὡς ἔμελλε τἀληθὲς φυλάξειν, ἀλλ' ὡς ᾤετο αὐτῷ συνοίσειν, οὕτως ἴσως πρὸς ὑμᾶς ἀπήγγελκε, κλέπτων ψευδεῖ λόγῳ τὴν πονηρίαν. οὐδεὶς γὰρ πώποτε τῶν ἠδικηκότων, ὡμολόγηκεν ἃ τετόλμηκεν, ἀλλὰ πάντα τρόπον διαστρέφουσι τ' ἀληθές, ἐκ μὲν τῶν ἀδικημάτων πλέον ἔχειν, ἐκ δὲ τῆς ἀρνήσεως, χρηστοὶ δοκεῖν εἶναι βουλόμενοι. τὸ μέντοι πρᾶγμα τοῦτον ἐσκευωρήθη τὸν τρόπον. Κατέπλευσεν εἰς τὴν Λακω-

νίκην Ἀλέξανδρος, σχήματί τε περιβεβλημένος οὐ φαῦλον, καὶ θεραπείαν ἐπαγόμενος, ἀφ᾽ ἧς εἰκάζετο οὐ τῶν τυχόντων εἶναι· ἀναβὰς δὲ εἰς τὴν Σπάρτην, τά τε ἄλλα πρὸς τοὺς ἐντυγχάνοντας ἐφιλανθρωπεύετο, καὶ πραότητα πολλὴν καὶ σωφροσύνην πλαττόμενος, ἐδεῖτο ξενίζεσθαι. Ἀκούων δ᾽ ἐγώ, καὶ πρὸ τῶν ἄλλων ἐμοὶ προσήκειν ἡγούμενος τῷ ξένῳ πάντα ὑπηρετεῖν, ἀνέῳξά τε τὴν οἰκίαν, καὶ εἰσήγαγον ἀσμένως, ἐπὶ παῖδα καὶ γυναῖκα, τὰ τιμιώτατα, οὐδέν, ὦ Τρῶες, ἐννοῶν ὧν ὕστερον ἔπαθον. Συναγωγέα γὰρ τοῦ πράγματος ἡγούμενος εἶναι τὸν Δία, τὴν αὐτὴν ᾤμην αἰδῶ σώζεσθαι πρὸς τὸν θεὸν ὑπό τε τοῦ δεξαμένου τὸν ξένον, καὶ τοῦ τετυχηκότος φιλανθρωπίας. μᾶλλον δὲ πλείω παρὰ τοῦ ξένου, καὶ τοσούτῳ γε, ὅσῳπερ ὁ παθὼν εὖ, τοῦ πεποιηκότος μείζω κεκέρδακεν. Ἐπεὶ καὶ νῦν ἡμεῖς, ἐγώ τε καὶ Ὀδυσσεύς, Ἀντήνορα τουτονὶ τὸν βέλτιστον (πῶς οἴεσθε;) θαυμάζομεν, καὶ συνευχόμεθα τὰ βελτίω, καὶ βουλοίμεθ᾽ ἂν αὐτῷ μηδὲν τοιοῦτον περὶ τὸν οἶκον συμβῆναι. Οὕτω τοίνυν καλὴν καὶ γνησίαν ἐμοῦ δεξιότητα περὶ τὸν ξένον ἐνδεικνυμένου, καὶ τοῦ χρόνου προϊόντος, εἰπάτω παρελθὼν Ἀλέξανδρος, εἴ τινος δεηθεὶς ἠτύχηκεν, εἰ τῷ πλείονι τῆς διατριβῆς δυσχεραίνοντες ὤφθημεν, εἰ μικρὸν, ἢ μεῖζον ἀποστραφέντας ᾔσθετο; ἢ μικροψυχίαν ἡμῶν οἶδε καταγνούς, ἢ πρὸς ἑαυτὸν ἐνιδὼν ἀηδίαν, εἴ τινος ὅλως ἐπιλαμβάνεται τῶν περὶ ταῦτα, λεγέτω, δεικνύτω, καὶ πολλοστὸν ὧν ὀφείλομεν, ὁμολογήσομεν πεπονθέναι. ἀλλ᾽ οὐκ ἂν ἔχοι, διόπερ οὐδ᾽ ἀνίσταται. Ὄντων οὖν ἡμῶν ἀφυλάκτων ὡς ἂν πρὸς φίλον καὶ γνώριμον, καὶ τῆς πίστεως εἰς ῥᾳθυμίαν ἀγούσης (πῶς ἄν τις χρήσαιτο τοῖς λοιποῖς;) μετέθηκεν, ὦ Τρῶες, τὸν περὶ ταῦτα θεσμὸν εἰς πᾶν τοὐναντίον, καὶ ἠμείψατο τὴν μὲν φιλανθρωπίαν ἀδικίᾳ, τὴν δὲ φιλοξενίαν πονηρίᾳ, τὴν δ᾽ ὑποδοχὴν ἁρπαγῇ, τὴν δὲ τιμὴν ὕβρει, τὴν δὲ πίστιν ἀμότητι· οὐ θεοὺς φοβηθείς, οὐ τοὺς εὖ πεποιηκότας

αἰδε-

ἠδικηθεὶς, οὐχ ὑμᾶς αἰσχυνθεὶς, οὐ τὸν πατέρα Πρίαμον, ὃν ἀκούομεν παρ' αὐτὸ τὸ θεῖον ἐπιδεδακρυκέναι, καὶ ὅλως ἐν φροντίδι πεποιῆσθαι, τὸ μηδὲν δοκεῖν ἐξαμαρτάνειν. Ταῦτα πάντα καὶ ἔτι πλείω τούτων παρὰ φαῦλον θέμενος, ἀφείλετο μὲν τὸ γύναιον, προσαφῄρητο δὲ χρημάτων ὄγκον· οἰκέτας δὲ σιωπῶ, καὶ πολλὰ πρὸς τούτοις ἕτερα. τί γὰρ αὐτοῖς μηκύνοι πρὸς εἰδότας ἀκριβῶς; ὁ ἐκ γὰρ ἂν εἰς ὑμᾶς ἧκεν ἄγων, ὅσων ἡμᾶς ἀπεστέρησεν ἔδειξε· καὶ πλουτεῖ νῦν ἐκ τῶν ἡμετέρων κακῶν. Καὶ ὅστις βούλεται τὴν ἡμετέραν παροινίαν σαφῶς καταμαθεῖν, οὐχ ἑτέρου δεήσεται. ἀλλ' εἰσελθὼν οἴκαδε ὡς Ἀλέξανδρον, ἐρέσθω· τουτὶ τὸ γύναιον, ὦ τάν, πόθεν ἔχεις λαβὼν, καὶ τίνι τρόπῳ; ἆρ' ὥσπερ ὁ πατήρ σου τῇ μητρὶ τῇ σῇ συνῴκησεν, οὕτω καὶ αὐτὸς Ἑλένῃ συζῇς, νόμου τῆς κοινωνίας ἡγησαμένου; ἢ γὰρ ψεύσεται τὴν πρᾶξιν αἰσχυνόμενος, ἢ τἀληθῆ λέγων, ὁμολογήσει τὸ κακούργημα. Μηδεὶς δὲ ὑμῶν, εἰ μετὰ παρρησίας οἱ λόγοι γίγνοιντο, τοῦτο ποιείσθω δυσχερές. Πρῶτον μὲν γὰρ, οὔτ' ἂν ἡμεῖς τῶν δικαίων τύχοιμεν, οὔτ' ἂν ὑμεῖς ἃ προσήκει γνοίητε, εἰ μὴ τοὺς προσήκοντας λόγους τὰ πράγματα λάβοι. Ἔπειτα δὲ ἐντεῦθεν καὶ μάλιστα αὐτίς κατίδῃ, πόσην ἔχει τὰ πεπραγμένα τὴν ἀτοπίαν. εἰ γὰρ ἐάν τις ἃ πέπονθεν ἀποκεκαλυμμένως εἴπῃ, τοῦτο τῶν δεδρακότων ὕβρεις, πῶς εἰκὸς τοὺς πεπονθότας ὑπ' αὐτῶν τῶν ἔργων διαχεῖσθαι; χωρὶς δὲ τούτων, οὐκ ἔνι τὴν πρεσβείαν φανῆναι δικαίαν, ἂν μὴ τὸν εἰργασμένον ἀδικοῦντά τις ἀποδείξῃ. Ὁρᾶτε οὖν ὡς ἁπλᾶ καὶ δίκαια παρέχομαι. δύο γὰρ τοὺς ἐγκαλουμένους τῆς αἰτίας ἀπολύειν πέφυκεν, ἢ τὸ μηδ' ὁτιοῦν πεποιηκέναι τὴν ἀρχὴν, ἢ τὸ τῆς δικαίας εἶναι πράξεως τὰ πεπραγμένα. ὅταν οὖν μήτ' ἀρνεῖσθαι τὴν ἁρπαγὴν οἷός τε ᾖ, μήθ' ὡς οὐκ ἀδίκως ἐτολμήθη διδάσκειν, δῆλον ὅτι τὸ λειπόμενον. Τίς οὖν ὁ σεμνὸς λόγος; ἔλαβον, φησὶ, καὶ ἔχω, καὶ μὴ ἐνόχλει. ἀλλ' οὐκ ἀρκεῖ τὸ λαβεῖν, οὐδ' ἔχειν, Ἀλέ-

ξαν-

ξανδρε. ἔστι γὰρ καὶ λαβεῖν ὅθεν οὐκ ἄξιον, καὶ ἔχειν τὰ ἀλλότρια. οὐ γὰρ ἐν τῷ λαβεῖν ἐστὶ τὸ δικαίως κεκτῆσθαι, ἀλλ' ἐν τῷ δικαίως κεκτῆσθαι τὸ χωρὶς ἐγκλημάτων. οὐκοῦν δεῖ τὴν λῆψιν ἁπλῶς σκοπεῖν, ἀλλὰ πολὺ πρὸ ταύτης τὸν τρόπον. ἀπὸ γὰρ τούτου, κἀκεῖνο δοκιμάζεται. Ὁρᾷς, ὡς οὐδὲ τοῖς ἱεροσύλοις ἀκίνδυνον, τὸ τὰ τῶν θεῶν εἰληφέναι; καίτοι εἰ τὸ ἔχειν ἰσχυρὸν ἦν, ἐχρῆν ὁμολογοῦντας ἔχειν, ἀπηλλάχθαι πραγμάτων. ἀλλ' οἶμαι τοῦτ' ἐστὶ καὶ οὐδὲν ἕτερον ἔγκλημ' ἄρα, τὸ τὰ μὴ προσήκοντα ἔχειν. οὕτως οὐκ ἀρκεῖ τὸ λαβεῖν, ἀλλὰ προσεῖναι δεῖ τὸ χωρὶς ἀδικήματος. Οὐδὲ γὰρ εἰ τὸν πατέρα τὸν αὐτοῦ παρώσας Ἀλέξανδρος, καὶ τὸ σκῆπτρον ἁρπάσας, αὐτὸς ἀντ' ἐκείνου ἐφεστηκέναι τοῖς ὑμετέροις πράγμασιν ἠξίου, βέβαιόν τι ποιεῖν ἐνομίσθη καὶ ἀνεκτόν. οὐδ' ἂν ἤνεγκε σιωπῇ τὸ πάθος, οὔτε Πρίαμος ὁ ἠδικημένος, οὔθ' ὑμεῖς οἱ συνειδότες. ἀλλ' εὐθὺς ἂν ἅπαντες ᾤεσθε δεῖν καταλύσειν, ὡς οὐχ ὅσια ποιοῦντα. Μὴ δὴ τοῦτο λέγε, ὡς ἔλαβες, ἀλλὰ δεῖξον, εἰ μηδεὶς οἷς ἔλαβες ἠδίκηται. τὸ γὰρ δίκαιον, ἄν τ' ἐπ' ἐμοῦ τις, ἄν τ' ἐπὶ Πριάμου λογίζηται, τὴν αὐτὴν ἰσχὺν ἔχει. Καὶ μὴν πολέμιοί γε, φησὶν, ἡμεῖς οἱ ταύτην ἔχοντες τὴν ἤπειρον, καὶ ὑμεῖς οἱ τὴν ἑτέραν. τὰ δὲ τῶν δυσμενῶν ἔξεστιν ἄγειν, καὶ φέρειν, καὶ λῃΐζεσθαι. καλῶς. Παρὰ δὲ τοῖς ἐχθροῖς, Ἀλέξανδρε, καταλύειν ἔξεστι; καὶ ξενίων τυγχάνειν; καὶ φιλανθρωπίας ἀξιοῦσθαι; σὺ τοίνυν ὧν ἐδεήθης, τούτων ἔτυχες. ἐχρῆν δὲ, ὦ βέλτιστε, τὴν ἀρχὴν ἀποφεύγειν στέγην ἀνδρὸς δυσμενοῦς, καὶ μηδαμῶς ἀγαπᾶν τὰς παρὰ τῶν πολεμίων εὐεργεσίας, μηδὲ ὁμωρόφιον γίνεσθαι τοῖς ἐκ παλαιῶν χρόνων, ὡς σὺ φῄς, εἰς ἔχθραν διῃρημένοις. ἢ τότε μὲν ὡς ἐπιτηδείοις ἐχρῶ, μικρὸν δὲ ὕστερον ὡς πολεμίους ἐκάκωσας; καὶ μὴν οὐδ' ἐν τῷ μεταξὺ παρ' ἡμῶν οἷς σε δυσχερὲς ὑπῆρξεν οὐδέν. οὐδ' ἂν ἔχοις εἰπεῖν. Εἰ μὲν οὖν ἐξ ἀρχῆς πολεμίους ἐνόμιζες, τί οὐκ ἔλεγες; τί κ

σύμ-

σύμφωνον παρεῖχες τῇ γνώμῃ τὸ σχῆμα; εἰ δ' ὕστερον μεταβληθεὶς, ὥστε δεῖν λυπεῖν, εἰπὲ πρὸς Διὸς, αὐθ' ὅτῳ; ἀλλ' οὐκ ἂν ἔχοις. ἀλλὰ πρᾶγμα πάντων ἀποσιώπητον εἰς νοῦν λαβὼν, εἰσῆλθες μὲν ὡς ξένος, ἀπηλλάγης δὲ ὡς δυσμενής. κλέψας δὲ τὴν ἐπιβουλὴν, εὔφημον ὄνομα τοῖς κακουργήμασι τίθησαι. ἀλλ' οὐ δὴ πείσεις οὐδένα ἀνθρώπων. πόθεν; οὐ γὰρ τοῖς ῥήμασιν ἕπεται τῶν πραγμάτων ἡ φύσις, τῇ δὲ φύσει τῶν πραγμάτων τὰς προσηγορίας ἀκολουθεῖν ἄξιον. Εἰ μὲν οὖν πλοίοις μακροῖς, καὶ στρατοπέδῳ καταλάμποντι τοῖς ὅπλοις προσενεχθεὶς τῇ Λακεδαίμονι, καὶ τὴν ἔχθραν ἐν φανερῷ κατασκευάσας, καὶ χεῖρα ἀντιράμενος, καὶ βέλος ἀφεὶς, καὶ δόρυ δεξάμενος, καὶ λόχον ἐπιφερόμενον ἐνεγκὼν, ἢ τῆς τύχης, ἢ τῆς ἀρετῆς νίκην παρασχούσης, εἷλε μὲν τὸ ἄστυ, τῶν δὲ σωμάτων ἐκράτησεν, ἐκ δὲ λαφύρων μοῖραν τὴν Ἑλένην ἐκτήσατο, ἐχέτω, ξυφάτω. ληροῦμεν ἡμεῖς, ἔγκλημα ποιούμενοι τὰ πολέμου τὰ ἆθλα. εἰ δὲ πάντα εἰρηναῖα προδείξας, τὸν κατάπλουν, τὴν σκευὴν, τοὺς λόγους, τὸ σχῆμα, τὴν ὁμιλίαν, τὰς διατριβὰς, ἐναντίον ἐξήγαγε τῶν προοιμίων τὸ τέλος, ἴσον, ὅτι πολὺ διενήνοχε νίκη κλοπῆς, καὶ πολέμου κράτος μεμηχανημένης ἀπάτης. Τὸ μὲν γὰρ, τοῦ κρείττονος ἀπόδειξιν ἔχει. τὸ δὲ, τοῦ χείρονας εἶναι, τοὺς ἀπάτῃ πειρωμένους ἑλεῖν, ἃ δι' ἀνδρείας οὐ δεδύνηνται. Τὸ μὲν οὖν εἰς τοὺς κρείττους, τὰ τῶν χειρόνων ἰέναι σχήματα, λόγον ἂν ἴσως ἔχοι, καὶ δίδωσιν ὁ τοῦ πολέμου νόμος. τὸ δὲ τοὺς μηδ' ὁμολογῆσαι τὴν ἔχθραν ὑπομείναντας, τὰ τῶν βελτιόνων λαμβάνειν, εἰς ἀδίκημά τε τελεῖ, καὶ δέοιτο ἂν ζημίας. Ὅτι μὲν οὖν ὑβρισμένοι, καὶ τὰ δεινότατα πεπονθότες ἐστρατεύσαμεν εἰς τὴν ὑμετέραν γῆν, καὶ οὐκ ἄρχοντες, ἀλλ' ἀμυνόμενοι, καὶ πλὴν τῆς ἀναισχυντίας οὐδὲν Ἀλεξάνδρῳ λείπεται, πολλαχόθεν οἶμαι δῆλον εἶναι. Ἡμεῖς δὲ πρὸ τῶν χειρῶν, εἰκότως τοῖς λόγοις

χρώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΕΥΝΗΤΙΚΟ ΕΡΓΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΕΥΝΗΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ι.Δ. τῆς Κ.τ.Μ. ΙΩΑΝΝΙΝΑ 2006

χρώμεθα πολλῶν ἕνεκα. πρῶτον μὲν, ὅτι τὸ λόγῳ τὰ δίκαια πειρᾶσθαι λαμβάνειν, ἀλλὰ μὴ τοῖς ὅπλοις ἐπιπηδᾶν, ἀνθρωπικώτερον δίπωθεν. δεύτερον δὲ, οὐκ ἄξιον κρίνομεν, ὡς εἷς ἠδίκηκε, παρὰ πάντων τὴν δίκην λαμβάνειν, ὅπερ εἰς πόλεμον καταστᾶσιν ἀναγκαῖον ἤδη γίνεται· οὐ γὰρ ἔνεστι τηνικαῦτα τοὺς ἀναιτίους φιλοκρινεῖν, ἀλλ' ἀνάγκη τοὺς παραπεπτωκότας ἀπολωλέναι. ἵνα οὖν μὴ τοῦτο γένηται, μηδὲ ὧν οὐκ ἄν τις βούλοιτο λυπῆσαί τινα πραχθῇ, πρεσβείᾳ καὶ ψήφῳ ἐδεξάμεθα τὰ διάφορα κριθῆναι. Πρὸς δὲ τούτοις μεγάλην μὲν ῥοπὴν ἐν τοῖς τοῦ πολέμου πράγμασι τὴν τῶν θεῶν ἡγούμεθα εὔνοιαν. ταύτην δὲ ὁρῶμεν, οὐ τοῖς θρασυτέροις, ἀλλὰ τοῖς ἐπιεικεστέροις ὑπάρχουσαν. Διὰ τοῦτο, τὸν θυμὸν ἐπισχόντες, ἀπὸ πρεσβείας ἀρχόμεθα. ἵνα, εἰ μὲν ἀρκέσει αὕτη πρὸς τὸ τῶν ἀμφισβητησίμων πέρας, μηδενὸς ἔτι προσδεήσειεν. εἰ δὲ μὴ, τῇ τοῦ δαιμονίου συμμαχίᾳ, διὰ τὴν ἐπιείκειαν πισθέντες, οὕτως ἤδη πρὸς τὰ δεύτερα τρεπώμεθα. Ὁρᾶτε οὖν ἀμφότερα, καὶ προθέντες τοῦ συλλόγου τὰς μάχας, καὶ τοῖς λόγοις τὰ ὅπλα, καὶ πρὸς τὴν παροῦσαν εὐδαιμονίαν ἀπιδόντες, καὶ τὴν ἀπ' ἐκείνου δυσχέρειαν ἐξετάσαντες, γίνεσθε τοῦ κρείττονος. Δεῖ δὲ, ὦ Τρῶες, ὑπὲρ τῶν τοιούτων μὴ ῥᾳθύμως βουλεύεσθαι, ἐκεῖνο εἰδότας, ὡς οὐκ ἔστιν ἅπαξ ἁμαρτόντας, αὖθις γενέσθαι βουλῆς κυρίους. πρὶν μὲν γὰρ ἅψασθαι τοῦ πολεμεῖν, ἔνεστιν αὐτοῦ καθάπαξ μὴ πειρᾶσθαι, λογισμῷ βελτίονι τὸ προσιὸν ἀναστείλαντας. εἰσελθόντας δὲ εἰς τὸ ἔργον, αὐτὰ τὰ πάθη κατέχει μέχρι πόρρω· καὶ τῇ νίκῃ τὰ πολλὰ κρίνεται τὸ τέλος, ἀλλ' οὐ ταῖς συνθήκαις μετρίαις. Ὁρᾶτε οὖν, μὴ παρὸν γνῶναι τὰ δέοντα, πρὸς τὸ πολεμεῖν ἔλθητε, τῷ δὲ πολέμῳ λυπηθέντες, αὖθις ἐπιθυμήσητε βουλεύσασθαι, ἡνίκα τοῦτο οὐκ ἔτ' ἔξεστε. Μάλιστα μὲν οὖν, εἰ καὶ μηδεὶς ἐπῆν ἀγὼν, οὐδὲ κίνδυνος, ἐχρῆν αὐτὸ καθ' αὑτὸ τὸ δίκαιον αἰδεσθῆναι. τοῖς γὰρ

οὕτω

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔπω γνώμης ἔχουσιν, ἐξ ὀξείας φιλεῖ τὰ πράγματα φέρεσθαι. νυνὶ δέ γε, εἰ δεῖ μὴ ληρεῖν, οὐδὲ βουλομένοις ὑμῖν ἔνεστιν ἑτέρως ποιεῖν. Οὐχ ὁρᾶτε τοὺς Ἀχαιοὺς μετὰ τῆς ἠϊόνος ἐκκεχυμένους καὶ τοῦ πεδίου, μικρὰν ἀποφαίνοντας τῷ πλήθει τὴν χώραν; οὗτοι μὲν πάντες ἐκ πολλῶν συνεληλύθεισαν πόλεων, μίαν δὲ γνώμην ἐσχήκασιν, ἀμῦναι τοῖς ὑβρισμένοις εἰς τέλος. καὶ τοσαύτη μὲν προθυμίᾳ κέχρηνται πρὸς τὰ ἡμέτερα πράγματα, ὅση καὶ χωρὶς ὅρκων ἤρκεσεν ἄν. τοσαύτη δὲ ἕξιν ἡ τῶν ὅρκων ἀνάγκη, ὅση καὶ μὴ βουλομένους προθυμεῖσθαι, πάντως ἂν ἐπαναγκάσαι. Τίς οὖν οὕτως ἠλίθιος, ὃς οὐκ ἂν ἕλοιτο, χωρὶς τοῦ τι παθεῖν δεινόν, ἀποδοῦναι ταῦτα, ὧν μετὰ συμφορᾶς ἀποτίσεται; ὅτι νὴ Δία ἄδηλον τοῦ πολέμου τὸ τέλος; οὐ μὰ τοὺς Θεούς, οὐδαμοῦ τὸ τοῦ παρόντος ἄδηλον. εἴπερ μὴ καὶ τοῦτο ἄδηλον, πότερον ὁ τῆς δικαιοσύνης καρπός, ἢ τῆς πονηρίας ἀμείνων; καὶ πότερον ἐκείνην τὴν τάξιν οἱ Θεοὶ τιμῶσιν, ἢ τοῖς τάδε πράττουσι συναίρονται; εἰ γὰρ μηδέτερον τούτων ἀμφισβητήσιμον, κἀκεῖνο σαφὲς εὐθύς, τὸ μεθ' ὧν ἂν ἡ τῶν κρειττόνων ᾖ μερίς, τούτοις ἀποκεῖσθαι τὸ τῶν ἐναντίων κρατεῖν. Περὶ τοίνυν τῶν συμμαχησόντων ὑμῖν (οἶμαι γάρ τινας ἐννοεῖν, ὡς οὐκ ὀλίγους ἕξετε βοηθούς) ἐκεῖνο λέγω, ὅτι κἂν ἅπαν τὸ λοιπὸν στρατόπεδον τὴν ἡσυχίαν ἄγῃ, Ὀδυσσεὺς οὑτοσὶ μόνος, γέλωτα τοὺς ὑμετέρους ἀποφαίνει συμμάχους, τῇ συνέσει τὸ πλῆθος ἐλέγχων. Ταῦτα, οὔτε ὀκνῶν τὸν πόλεμον, οὔτ' ἐπιθυμῶν πραγμάτων εἴρηκα. πλείω μέντοι διεξιέναι, πρόχειρον μέν, μάταιον δὲ καὶ κενόν. εἰ γὰρ μὴ τούτοις προσέξετε τὸν νοῦν, οὐδὲ τοῦ πλείονος οὐδὲν ὄφελος. Μαρτύρομαι δὲ Δία τε Ξένιον, καὶ Θεοὺς ἅπαντας, καὶ δαίμονας, ὅσοι τήνδε κατέχουσι τὴν γῆν, ὅτι καὶ τὴν ἀρχὴν ἀδικούμενοι προσέχομεν Ἰλίῳ, καὶ νῦν λόγῳ διαλύεσθαι προαιρούμεθα· καὶ πολεμήσομεν, ἑτέρων ἀναγκαζόντων.